ἀπορραγέντες ὑμεῖς, ὦ Λατῖνε, κἀντεῦθεν ἐξασθενησάσης, οὐ μόνον οὐκ ἐπικουρίσατε αὐτῇ ἐν τοῖς ἐπερχομένοις πολέμοις, ἀλλὰ καὶ αὐτοὶ πολέμιοι ταύτῃ καὶ τύραννοι κατὰ διαφόρους καιροὺς εὑρέθητε· ὅθεν ἡ παντελὴς καταστροφὴ τῆς Ῥωμαϊκῆς πολιτείας κατωρχήσατο· πρὸς δὲ καὶ προσθήκαις ἀλλοκότοις τὴν καθολικὴν καὶ ἁγίαν πίστιν ἐκιβδηλεύσατε. Καὶ οὐ μόνον μέχρις ὑμῶν τὸ κακὸν στέργετε ὁρᾶν, ἀλλὰ καὶ ἡμᾶς κοινωνοὺς ὑμῖν τῆς κακίας γενέσθαι βιάζετε, τῷ παραβῆναι τὰς ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις· ἡμεῖς δέ, ὅσον τὸ ἐφ' ἡμῖν, οὔτ' ἀποστάται τῆς ἁγίας καὶ καθολικῆς Ἐκκλησίας γεγόναμεν, οὔθ' ἑτέρους βιάζομεν προσθῆναι τῷ ἡμετέρῳ δόγματι, ἑπόμενοι τοῖς τῶν ἁγίων Πατέρων δόγμασι σὺν πάσῃ εὐσεβείᾳ τε καὶ εὐπειθείᾳ, ἕκαστον ἀφέντες κατὰ τὸ δοκοῦν αὐτῷ θρησκεύειν, μηδὲν βιάζοντες· παραινέσει δὲ μάλιστα καὶ οἰκείᾳ προαιρέσει καὶ τοὺς ἀποσχισθέντας τῆς ὀρθῆς πίστεως βουλόμενοι συνάπτειν· ἐπεὶ καὶ χριστιανοῖς τοῦτο δοκεῖ. Θαῦμα δ' οὐδέν, εἴπερ ἡμᾶς οὐ μέμφεσθε τῆς πίστεως μηδὲν ἔχοντες ἐγκαλεῖν (α). 3) Σχολίων τοῦ Παχωμίου εἰς τὰς κατὰ Λατίνων πραγματείας Μαξίμου μοναχοῦ, Κυρίλλου Πετρινοῦ καὶ Ματθαίου μοναχοῦ μνημονεύει ὁ Ἀλλάτιος de perpet- consens. σελ. 871.

***Μαζουσάλας***, τὸ ἐπίκλην Μαχείρ, μοναχὸς τοῦ ὄρους Σινᾶ, κατὰ τὸ ἔτος 1547 διέτριβεν ἐν Αἰγύπτῳ, ἔνθα καὶ τοὺς τρεῖς λόγους Μάρκου τοῦ Ἐφέσου κατὰ τοῦ καθαρτηρίου πυρὸς ἀντέγραψεν, ἐν ἔτει δὲ 1550 ἔζη ἐν τῇ οὐχὶ μακρὰν τῆς Ἱερουσαλὴμ κειμένῃ Μονῇ τοῦ ἁγίου Σάββα. Τούτου τοῦ Μαχεῖρος σώζονται ἐν χειρογράφῳ φιλοσοφικῷ ὑπ' ἀριθμὸν 68 τῆς ἐν Βιέννῃ βιβλιοθήκης ἐκλογαὶ ἐκ τῶν κατὰ Λατίνων

---

(α) Χειρογρ. ἀριθ. 125 σελ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ